## Βουδαῖος Μαίνῳ.

Δὶς ἤδη ἀντεπιστεῖλαί σοι φθάσας ἀνθ' ὧν ἐμοὶ σὺ ἐπέσταλκας, καὶ τὸ τρίτον νῦν αὐτὸς γράψαι σοι διέγνωκα. ἵν' ὑπεραγχρεώντως ἀμείψασθαί σε δοκῶ τὸν προκαλεσάμενον ἐμὲ τῇδε τῇ ἡδείᾳ μοι ἀμοιβῇ. τοῦτο δὲ διανοηθείς, ἔχων δὲ μηδὲν πρόχειρον ὅτι γράψαιμι, τῶν γε δὴ σπουδαίων καὶ ἀξιολόγων πραγμάτων, οὐκ ἀπρεπὲς οὐδὲ τοῦτ' ἡγησάμην. τὸ προϊσάμενον γράψαι, ὅτου τε τύχοιμι αὐτοσχεδιάζων, τό τοι ὑπόθεσιν ποιήσασθαι γραμμάτων πρὸς ἄνδρα σε μάλιστα γράψαι με δεδεημένον, ἐφ' ᾧ προξενῶσαι σου τὴν ὁρμὴν δῆθεν, τὴν ἐπὶ τὴν γλῶτταν ὡς ἔοικε τὴν ἑλλάδα φερομένην. Δέδοκται τοίνυν ἐμοί, ἐὰν ποτε σὺν θεῷ οἴκαδε ἐπανέλθω, σχολὴν δὲ ἄγειν ἐξῇ μοι ἀπὸ τῶν ἐνοχλούντων τουτωνὶ τῶν πραγμάτων, τῶν οὐδὲν καθηκόντων τῇ ἡμετέρᾳ φιλολογίᾳ, ἣ δὴ ταῦτα βαρύνεται ἑαυτῇ ἐπικείμενα, εὐθὺς μὲν ἀνακαλεῖσθαι εἰς τὰ τῶν λόγων τὸν νοῦν, πολὺν ἤδη χρόνον τῆς τάξεως ἀφεστηκότα τε καὶ ἀποπλανησάμενον. σοὶ δὲ τὰ τῆς παιδείας παραδιδόναι τῆς ἑλληνικῆς καθηγεμονικώτερόν τε καὶ τεχνολογικώτερον, ὅσων γε καὶ ἡμεῖς αὐτομαθῶς ἐφικόμεθα. ἀλλὰ γὰρ δείλαιος ἐγὼ πάλιν ὀρρωδῶ μὴ πράγματα ἐμοὶ ἡ νόσος ἐκείνη ἡ ἐπίτριτος παράσχῃ, ἣ ἐμοὶ μὲν πόνους καὶ βασάνους πρόπαλαι ἐπιφέρουσα, τοῖς ἐμοῖς δὲ φιλτάτοις ἑαυτὴν ἐπιζήμιον παρασχομένη, καὶ δὴ παντὶ τῷ οἴκῳ μου δασὺ σκότος φέρουσα καὶ ἀφάνισιν πολλὴν προσετρίψατο. ἀλλὰ μὴν τοῦτο ἡ μοῖρα μὲν εἰδείη, ἡ τήνδε μοι δυσχέρειαν τοῦ βίου βαρέως ἐπικλώσασα πολλῶν κακῶν οὖσαν πρόξενον. ἐμοὶ δὲ τὸν θυμὸν ἡ πρόνοια ἐπιρρωννύναι κατὰ τῆς τύχης δοίη, ἡ πάντα δυναμένη, πᾶσάν τε τῆς ζωῆς ἐγκαρτερεῖν ταλαιπωρίαν εὐγνωμόνως τε καὶ εὐσταθῶς. σοὶ δὲ δὴ ἔστω ἐπιμελὲς ἐν τοῖς μάλιστα καὶ τοῦτο, ὅπως τὴν ἐμὴν παρακαταθήκην διαφυλάξῃς ἐγρηγορότως, ἣν ὑπ' ἐμοῦ ἀποδημοῦντος ἐπιτέτραψαι, τὰ τέκνα μου λέγω τὰ πιστευθέντα τῇ ἐπιστασίᾳ τῇ σῇ.

Vale, ad Petram latam, qui uicus citra Auenionem. Decimo Calendas Maias.